Worksheet 11. *Read the Greek text.*

1 ὁ πρεσβύτερος ἐκλεκτῇ κυρίᾳ καὶ τοῖς τέκνοις αὐτῆς οὓς ἐγὼ ἀγαπῶ ἐν ἀληθείᾳ. καὶ οὐκ ἐγὼ
μόνος. ἀλλὰ καὶ πάντες οἱ ἐγνωκότες τὴν ἀλήθειαν. 2 διὰ τὴν ἀλήθειαν τὴν μένουσαν ἐν ἡμῖν. καὶ μεθ᾽
ἡμῶν ἔσται εἰς τὸν αἰῶνα. 3 ἔσται μεθ᾽ ἡμῶν χάρις ἔλεος εἰρήνη παρὰ θεοῦ πατρὸς καὶ παρὰ ἰησοῦ
χριστοῦ τοῦ υἱοῦ τοῦ πατρὸς ἐν ἀληθείᾳ καὶ ἀγάπῃ.

4 ἐχάρην λίαν· ὅτι εὕρηκα ἐκ τῶν τέκνων σου περιπατοῦντας ἐν ἀληθείᾳ. καθὼς ἐντολὴν ἐλάβομεν
παρὰ τοῦ πατρός. 5 καὶ νῦν ἐρωτῶ σε, κυρία. οὐχ ὡς ἐντολὴν γράφων σοι καινὴν. ἀλλ᾽ ἣν εἴχομεν ἀπ᾽
ἀρχῆς· ἵνα ἀγαπῶμεν ἀλλήλους. 6 καὶ αὕτη ἐστὶν ἡ ἀγάπη· ἵνα περιπατῶμεν κατὰ τὰς ἐντολὰς αὐτοῦ.
αὕτη ἡ ἐντολή ἐστιν, καθὼς ἠκούσατε ἀπ᾽ ἀρχῆς· ἵνα ἐν αὐτῇ περιπατῆτε.

7 ὅτι πολλοὶ πλάνοι ἐξῆλθον εἰς τὸν κόσμον· οἱ μὴ ὁμολογοῦντες ἰησοῦν χριστὸν ἐρχόμενον ἐν σαρκί.
οὗτός ἐστιν ὁ πλάνος καὶ ὁ ἀντίχριστος. 8 βλέπετε ἑαυτούς· ἵνα μὴ ἀπολέσητε ἃ εἰργασάμεθα. ἀλλὰ
μισθὸν πλήρη ἀπολάβητε. 9 πᾶς ὁ προάγων. καὶ μὴ μένων ἐν τῇ διδαχῇ τοῦ χριστοῦ· θεὸν οὐκ ἔχει. ὁ
μένων ἐν τῇ διδαχῇ· οὗτος καὶ τὸν πατέρα καὶ τὸν υἱὸν ἔχει. 10 εἴ τις ἔρχεται πρὸς ὑμᾶς. καὶ ταύτην τὴν
διδαχὴν οὐ φέρει. μὴ λαμβάνετε αὐτὸν εἰς οἰκίαν. καὶ χαίρειν αὐτῷ μὴ λέγετε. 11 ὁ λέγων γὰρ αὐτῷ
χαίρειν κοινωνεῖ τοῖς ἔργοις αὐτοῦ τοῖς πονηροῖς.

12 πολλὰ ἔχων ὑμῖν γράφειν. οὐκ ἐβουλήθην διὰ χάρτου καὶ μέλανος. ἀλλ᾽ ἐλπίζω γενέσθαι πρὸς
ὑμᾶς. καὶ στόμα πρὸς στόμα λαλῆσαι. ἵνα ἡ χαρὰ ἡμῶν ᾖ πεπληρωμένη. 13 ἀσπάζεταί σε τὰ τέκνα τῆς
ἀδελφῆς σου τῆς ἐκλεκτῆς.

Copyright © 2020. The Grey Burro, GreyBurro@ScriptureOnline.com. All rights reserved.